л. 189 об. *Τοῦ <Θεοδώρου> Προδρόμου*[а]

**στίχοι πολιτικοὶ**
**εἰς τὴν γέννησιν τοῦ υἱοῦ σεβαστοκράτορος Ἀνδρονίκου κυροῦ Ἀλεξίου**

Παντὸς ἀνθρώπου γένεσις καὶ πρόοδος εἰς βίον,
κἂν μέγας, κἂν ἐπιφανής, κἂν ἀφανὴς τυγχάνει,
κἂν εὐγενής, κἂν ἀγενής, κἂν τύχης φαυλοτέρας,
ἡμέρα πέφυκε χαρᾶς καὶ πανηγυρισμάτων
καὶ μᾶλλον τοῖς γεννήτορσι καὶ τοῖς ἀγχιγενέσιν.
Ἂν δ' ἔστι καὶ τὸ γεννηθὲν τῆς μοίρας τῶν ἀρρένων,
τοῦτο διπλῆ πανήγυρις καὶ διπλοχαρμοσύνη.
Ἂν δὲ καὶ γένους εὐγενοῦς καὶ τύχης τρισολβίας,
ὑπέρευγε τῆς ἑορτῆς, εὖγε τῶν γενεθλίων.
Ἂν δὲ καὶ πάππους ἄνακτας καὶ βασιλεῖς προπάππους,
λαμπροὺς ἐν ἀριστεύμασι, φαιδροὺς ἐν στρατηγίαις,
βαρβαρωλέθρους νικητάς, τρισαριστεῖς γεννάδας
ὁ παῖς προγόνους εὐτυχεῖ[б], τοῦ γένους ἀρχηγέτας,
τί γένοιτο σεμνότερον τῶν δὲ τῶν λοχευμάτων;
Ἂν δὲ καὶ τέκνον πέφυκεν ἀνδρὸς πορφυροβλάστου,
κλεινοῦ σεβαστοκράτορος ἐν μάχαις Ἀνδρονίκου
л. 190 καὶ πιστουμένου φανερῶς τοῖς πράγμασι τὴν κλῆσιν,
καὶ χαρακτῆρος ἐναργῶς τῶν πατρικῶν χαρίτων,
καλεῖ πρὸς τὴν πανήγυριν καὶ τὰς ἀψύχους φύσεις.
Ἂν δὲ καὶ γέννημα μητρὸς ἀρίστης χρηματίζῃ[в],
εἰς γένος[г] ἦθος παίδευσιν, εἰς εἶδος ἀσυγκρίτου,
περικαλλοῦς[д] τῷ σώματι καὶ τῇ ψυχῇ τὸ πλέον,
ἀρρενωποῦ καὶ σταθηρᾶς ἐν γυναικείῳ σκήνει,
οὐκ ἔχω τὴν ὑπερβολὴν τῆς ἡδονῆς μετρῆσαι.
Ἄπαντα ταῦτα συνελὼν ὁ σὸς[е] κληροῦται γόνος,
ὁ προπαπποθειώνυμος Ἀλέξιος ὁ νέος,
πασῶν ἀρίστη γυναικῶν, βελτίστη βασιλίδων
καὶ σεβαστοκρατορισσῶν σέβας ὁμοῦ καὶ κράτος.
Τίς οὖν καλῶν ἀνέραστος ἢ φθονερὸς τοσοῦτον
ἢ πέτρινος[ж] λατόμησις ἢ σιδηρέα φύσις,
ὡς μὴ χορεύειν καὶ σκιρτᾶν ἐπὶ τοῖς λεγομένοις,
καὶ γεγηθέναι, καὶ κροτεῖν, καὶ μέγα παιανίζειν;
<Σ>ὺ τοίνυν χαῖρε, βασιλεῦ, πρὸ τῶν λοιπῶν ἁπάντων
ἐπὶ τῇ γέννᾳ τῇ χρυσῇ τοῦ τηλαυγοῦς ἐκγόνου·

---

[а] *Лемма:* τοῦ προδρόμου
[б] *Рукопись:* ὁπ̄ προγόνους εὐτυχ̑, т. е. εὐτυχεῖν
[в] *Может быть,* χρηματίζει?
[г] *Рукопись:* γέννος
[д] *Рукопись:* περικαλοῦς
[е] *Рукопись:* ὅσος
[ж] *Рукопись:* πέτρηνος